καὶ δι' αὐτὸ μὲν οὖν τοῦτο καὶ σφόδρα ἦσαν λαμπροὶ, ἐπίσημοι, καὶ πολλὴν παρὰ τοῦ θεοῦ τὴν βοήθειαν ἐπεσπάσαντο. τί δὲ τὸν Λάζαρον ἡ νόσος, καὶ τὰ ἕλκη, καὶ ἡ πενία, καὶ ἡ ἐρημία τῶν προστησομένων παρέβλαψεν; οὐκ ἐντεῦθεν αὐτῷ μειζόνως ἐπλάκησαν οἱ στέφανοι; τί δὲ τὸν Ἰωσὴφ τὸ πονηρὰν δόξαν κτήσασθαι ἐπὶ τῆς οἰκείας καὶ ἐπὶ τῆς ἀλλοτρίας; (καὶ γὰρ καὶ μοιχὸς καὶ ἑταιρικὸς εἶναι ἐνομίζετο) τί δὲ ἡ δουλεία; τί δὲ τὸ τῆς πατρίδος ἐκπεσεῖν; οὐ διὰ ταῦτα αὐτὸν μάλιστα θαυμάζομεν, καὶ ἐκπληττόμεθα; καὶ τί λέγω τὴν εἰς τὴν ὑπερορίαν μετάστασιν, καὶ πενίαν, καὶ πονηρὰν δόξαν, καὶ δουλείαν; αὐτὸς γὰρ ὁ θάνατος τί τὸν Ἄβελ παρέβλαψε καὶ βίαιος καὶ ἄωρος γενόμενος, καὶ ὑ-

*& ob hoc ipsum proinde etiam admodum illustres erant & clari, magnumq́ à Deo auxilium impetrârunt. Quid Lazaro morbus, vlcera, paupertas, solitudo eorum, qui assisterent, obfuit? an non his rebus ei magis sunt contextæ coronæ? Quid Ioseph illi mala fama domi forisq; collecta? (nam & adulter & scortator habebebatur) quid seruitus? Quid exilium? an non ob hæc eum maximè admiramur & obstupescimus? Quid dico exilium, paupertatem, malam famam, & seruitutem? Mors enim ipsa quid Abel obfuit & violeta, & immatura, & per fratris manum sceleratè allata? an non hanc ob rem vbique terrarum celebra-*